# TEZAUR LITURGIC

## 1 MAI

# SLUJBA
# SF.CUVIOS-MUCENIC
# ACACHIE
# ATHONITUL
# DE LA
# CONSTANTINOPOL

ATENA,2015


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Μηνὶ Μαΐω Α'. Μνήμην ἐπιτελοῦμεν, ἐν τῇ ἐπιγείῳ αὐτοῦ πατρίδι τοῦ ἁγίου νέου Ὁσιομάρτυρος Ἀκακίου τοῦ Ἀσβεστοχωρίτου μετὰ τῶν ὁσιομαρτύρων Εὐθυμίου, Ἰγνατίου καὶ Ὀνουφρίου

## Εἰς τὸν μικρὸν Ἑσπερινὸν

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Δεῦτε προφρόνως τὸν νέον Ὁσιομάρτυρα, Ἀκάκιον τὸν θεῖον, προβαλλόμενοι τούτου, τοὺς ἄθλους καὶ ἀγῶνας πνευματικούς, ἐπιστέψωμεν ἄσμασιν, ἵνα δεχθῶμεν βραβεῖα τῶν ἀρετῶν, ἐν τῇ μνήμῃ τούτου σπεύδοντες.

Χῶμα τοῦ τάφου σου μάκαρ, καὶ θεῖον μάργαρον, ἐκ τοῦ σεπτοῦ σου, πάτερ, προσκυνοῦμεν λειψάνου, λαμβάνοντες ἐκ πόθου χάριν ἐκ σοῦ καὶ καρδίας σκιρτήμασιν, εὐχαριστήσωμεν πάντες τῷ Ἰησοῦ, σε Ἀκάκιε, προβάλλοντι.

Ἕτερα δύο. Ἐκ τῆς Παλαιᾶς Ἀκολουθίας Ὀνουφρίου.

Ὁ τὴν καινὴν συγκροτουντες ταύτην πανήγυριν, Εὐθύμιος ὁ θεῖος καὶ Ἰγνάτιος πάλιν, σὺν ἅμα Ἀκακίω σὲ ὡς Τριάς, τῇ Τριάδι παρίστανται, μετὰ μαρτύρων ὁσίων ἀγγελικῶς, μελωδοῦντες τὸ τρισάγιον.

Περιφλεγόμενοι ὄντως, ὑμῶν τῷ ἔρωτι, τριὰς νεομαρτύρων, ὦ Εὐθύμιε θεῖε, Ἰγνάτιε στεῤῥόφρον καὶ σὺ κλεινέ, τοῦ Χριστοῦ μου Ἀκάκιε, ἰδοὺ συνήλθομεν

πάντες μνήμην ὑμῶν, ἐκτελέσαι ἐν φαιδρότητι.
Δόξα. Ἦχος α΄.
Σήμερον πᾶσαν ἡ κτίσις, ἐαρινὼς σκιρτὰ καὶ χορεύει καὶ εὐωδίαις μυρίζει, τὴν μνήμην τοῦ μάρτυρος, τοῦ νέου ἐν ὁσίοις καὶ φίλου Ἀκακίου, ὅσπερ κατῄσχυνεν ἀνδρικοῖς παλαίσμασιν κόσμον, σάρκα, καὶ κοσμοκράτορα σατάν, ἐν τοῖς γεννήμασι τῆς γραίας Ἄγαρ, Πανηγυρίζει ἐν οὐρανοῦ ἡ ἐνεὰς τῶν οὐρανίων νοῶν καὶ ἐπὶ γῆς συγχορεύει τῶν μοναζόντων τὸ ἀγγελοειδὲς πολίτευμα, ἄλλα καὶ τῆς αὐτοῦ πατρίδος τῶν νεαζόντων ὁ σύλλογος. Ὅθεν καὶ ἡμεῖς, συνελθόντες τούτοις, χαρμονικοῖς ᾄσμασι τὸν Ὁσιομάρτυρα περικοσμήσωμεν, ἵνα παρὰ τοῦ δωροδότου Χριστοῦ λάβωμεν, πνευματικὴν πᾶσαν δωρεὰν καὶ μέγα ἔλεος.
Καὶ νῦν. Τῆς προστυχούσης ἑορτῆς.

Εἰς τὰ Ἀποστιχα. Οἶκος τοῦ Εὐφραθᾶ. Ἦχος β΄.
Δεῦτε οἱ γηγενεῖς, καὶ ὅσοι προστυχόντες, ἐπὶ τῇ θεία μνήμη, σήμερον Ἀκακίου, τοῦ νέου συγχορεύσωμεν.
Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ...
Ὥρα ἐαρινή, ἀνθέων εὐωδίαις καὶ μύροις ἐγκωμίων, τὴν μνήμην Ἀκακίου, ἐν χαρμονὴ τιμήσωμεν.
Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῆ αὐτοῦ....
Ῥεύματα χαρμονῆς, σκιρτήματα καρδίας, προσώπων δὲ φαιδρότης κατέχει τοὺς τιμῶντας, Ἀκάκιον τὸν φίλτατον.

Δόξα.
Τριάδι τῇ σεπτή, τριὰς μαρτύρων φέρει, δεήσεις Ἀκακίου, καὶ σὺν τῷ Ἰγνατίω, Εὐθύμιος ἀγάλλεται.
Καὶ νῦν.
Βασίλισσα σεμνή, τῶν μοναζόντων Μήτηρ, τοῦ Ἄθωνος καὶ πάντων, νῦν Σὲ περικυκλοῦσι τρεῖς θεῖοι νεομάρτυρες.

Νῦν Ἀπολύεις. Τὸ Τρισάγιον.
Ἀπολυτίκιον. Τοῦ ἁγίου. Ἦχος α΄.Τῆς ἐρήμου πολίτης.
Μετανοίας τοῖς ἔργοις διαπρέψας ἐν Ἄθωνι, Ἀσβεστοχωρίου ὁ γόνος, Θεοφόρε Ἀκάκιε, ἐνώπιον ἀπίστων δικαστῶν, ἐκήρυξας τὴν πίστιν σου τρανῶς, καὶ προσήχθης τῷ Κυρίῳ σου λογική, θυσία διὰ ξίφους ἱερά, δοξάτω σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σε θαυμαστώσαντι, δόξα τῷ χορηγοῦντι διὰ σου, χάριν οὐράνιον.
Δόξα. Ἀπολυτίκιον. Τοὺς τρεῖς μεγίστους φωστῆρας.
Ἰσάριθμοι Τριάδος τῆς ἀκτίστου ὑπάρχοντες, σὺν ταῖς τῶν Ἀγγέλων χορείαις, καὶ μαρτύρων τοῖς τάγμασι, παρίστασθε χαίροντες ὑμεῖς, τῷ θρόνῳ τῆς θεότητος σοφοί. Διά τοῦτο ἐν μεθέξει, τὰς ἀστραπὰς ἐκεῖθεν προσλαμβάνοντες, πηγὰς ἰαμάτων τοῖς πιστοῖς παρέχετε καὶ θεῖον φωτισμόν, μάρτυς Εὐθύμιε Χριστοῦ, σὺν τῷ σοφῷ Ἰγνατίω καὶ τῷ θείῳ Ἀκακίω τε, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύοντες.
Καὶ νῦν. Θεοτοκίον τῆς ἑορτῆς

## Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ

Τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν προσόμοια β΄ τῶν Ἁγίων. Ἦχος δ΄.

Τὴν καινὴν καὶ χαρμόσυνον, ἑορτὴν Χριστὲ σήμερον, τῶν Νεομαρτύρων Σου ἑορτάζοντες, ἔαρος ὥρᾳ φιλάνθρωπε, ὡς ἄνθη πανεύοσμα, χελιδόνας τορευτὰς, κελαδούσας ἐν χάριτι Σὴν θεότητα, καὶ πληρούσας χαρᾶς τῶν ὀρθοδόξων τὰς καρδίας Σοι ἐν πίστει, αὐτῶν τοῦς ἄθλους προσφέρομεν.

Αἰσθητὸν ἔαρ σήμερον, αἰσθητὴν κτίσιν ηὔφρανε, νοητὸν ἀνέτειλε ἡ Ἀνάστασις Χριστοῦ, καὶ φύσιν ἐν Πνεύματι βροτῶν ἀναπλάττουσα, ἐπευφραίνει νοητῶς. Νῦν δὲ ἔαρ τριπλάσιον ἡ πανήγυρις, τῶν τριῶν Ἀθλοφόρων κατατέρπει, τριπλασίως τὰς αἰσθήσεις, ψυχῆς ἡμῶν καὶ τοῦ σώματος.

Εἶτα λέγομεν δ΄τοῦ Ἁγίου Ἀκακίου Ἦχος α’ . Τῶν οὐρανίων ταγμάτων.

Τῶν ἐπὶ γῆς φθειρομένων ἀπαρνησάμενος, πρὸς δρμον μετανοίας κατεσκήνωσας μάκαρ, οὐράνια ποθήσας διψητικῶς, κάλλη θεῖε Ἀκάκιε, ἔνθα χορεύων μὴ παύσῃ ὑπὲρ ἡμῶν, ἱκετεύων τὸν Σωτῆρα Χριστόν.

Βλαστὸς ὡραῖος ὑπάρχων καὶ ἄνθος εὔοσμον, δι’ ἀρετῶν ποικίλων τὴν ψυχὴν ὡραΐσας, προσφέρεις εὐωδίαν πνευματικήν, τοῖς θερμῶς ἑορτάζουσι, τὴν ἱερὰν σου πανήγυριν ἐπὶ γῆς, χριστοπόθητε Ἀκάκιε.

Ἐν Κωνσταντίνου τῇ πόλει, πάτερ φερόμενος, πολλὰς διῆλθες κώμας ἐν τῇ Μακεδονία, θυσία τῷ Δεσπότῃ σου ἱερά, προσεφέρθης στεῤῥόψυχε· ἀποτμηθεὶς δὲ τὴν κάραν πλήρης χαρᾶς, στῖφος μάρτυρος ἀπείληφας.
Ὁ τῇ πατρίδι σου μάκαρ, φαιδρῶς συνέλθωμεν, καὶ μέλψωμεν ἀξίως μαρτυρίου τοὺς ἄθλους· ἀσβέστου γὰρ Ἀκάκιε χαρμονῆς, οἱ σοι φίλοι πληρούμεθα. Ἀσβεστοχώριον χαίρει καὶ συγκροτεῖ τὴν ἐτήσιον πανήγυριν.
Δόξα. Ἦχος πλ. α’ .
Δεῦτε σήμερον ἀδελφοί, ἐν ὥρα Ἀνοίξεως καὶ Ἀναστάσεως, Χριστοῦ τὸν ἀμνόν, ἐν μέσῳ προβάλλοντες, ὕμνοις καὶ ἐγκωμίων στεφάνοις, αὐτὸν κατακοσμήσωμεν. Ἡλικία γὰρ νεαρά, ὁ θεοφώτιστος Ἀκάκιος, εὐῶδες ἱερεῖον, παλαίσμασιν ἀσκητικοῖς, πορφυρωθεὶς ποικίλοις βασάνοις, χαίρων προσάγεται Χριστῷ, ἀποδεχόμενος κάρας τὴν ἀποτμῆσιν. Ὅθεν διπλοστεφείς, παριστάμενος τῷ θρόνῳ τοῦ παντάνακτος, ὡς ὅσιος καὶ μάρτυς, διπλῆν τὴν παῤῥησίαν προσκτησάμενος, πρεσβεύει ἐκτενῶς ὑπὲρ ἡμῶν, τῶν φαιδρῶς ἑορταζάντων τὴν μνήμην αὐτοῦ.
Καὶ νῦν.
Τῆς προστυχούσης ἑορτῆς τοῦ Πεντηκοσταρίου ἡ τοῦ ἤχου.
Εἴσοδος· τὸ Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

Προφητείας Ἡσαΐου το ανάγνωσμα. [Κεφ. ΜΓ 9-14]. Τάδε λέγει Κύριος` πάντα τά ἔθνη συνήχθησαν ἅμα, και συναχθήσονται ἄρχοντες ἐξ` αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα τά ἐξ αύτῆς; Ἤ τά ἐξ ἀρχῆς, τίς ἀκουστά ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τούς μάρτυρας αὑτῶν, και δικαιωθήτωσαν, και εἰπάτωσαν ἀληθῆ. Γίνεσθε με μάρτυρες, και ἐγώ Μάρτυς Κύριος ὁ Θεός, και ὁ παῖς ὅν ἐξελεξάμην, ἵνα γνῶτε και πιστεύσητέ μοι, και συνῆτε ὅτι ἐγώ εἰμί. Ἔμπροσθέν μου ουκ ἐγένετο ἄλλος θεός, και μετ᾽ ἐμέ οὐκ ἔσται. Ἐγώ εἰμί ὁ Θεός, και οὐκ ἔστιν πάρεξ ἐμοῦ ὀ σώζων. Ἐγώ ἀνήγγειλα και ἔσωσα, ὀνείδισα και οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοί Μάρτυρες, και ἐγώ Κύριος ὁ Θεός` ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμί, και οὐκ ἔστιν ὀ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, και τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. [Κεφ. Γ 1-9] Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίστη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα. Οἱ δέ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτούς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας

προσεδέξατο αὐτούς, καὶ ἐν καιρῷ ἑπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμη διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἑπ᾽ αὐτῷ συνὴσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπη προσμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ὲπισκοπὴ ἑν τοῖς ὲκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (ε΄15-23,στ΄1-3).
Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν

ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους Δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις Ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Ἦχος α΄.

Ἀθλητικὴν πανήγυριν, συγκροτήσωμεν, ἀδελφοί, σήμερον. Ἄνθος νεότητος, ὁ ὁσιομαρτυς Ἀκάκιος συγκαλεῖ ὑμᾶς, προσάγων τῶν πόνων τὰ κατορθώματα. Τὴν θεοκίνητον δὲ κάραν προσφέρων ταῖς ἰδίαις χερσίν, Χριστῷ τῷ γλυκυτάτω καὶ πρωτομάρτυρι, ἅπαν τὸ νόημα αὐτῆς, καθυπέταξε, εἰς τὸν καλὸν τῆς ὁμολογίας ἀγῶνα, μὴ δειλανδρίσας φυλακῆς τὰς στεῤῥήσεις, ἁλύσσεων δεσμά, ῥαβδισμὼν τὴν πορφύρωσιν καὶ πολλῶν κακώσεων βάσανα, θωρακισθεὶς γὰρ τῇ κοινωνία τοῦ δεσποτικοῦ σώματος, ὁλοκαύτωμα πίστεως γέγονεν. Καὶ ἐκτενῶς νῦν πρεσβεύει, ὑπὲρ νεότητος πρῶτον καὶ πάσης ἡλικίας, τῶν ἐκτελούντων εὐσεβῶς τὴν ἐτήσιον μνήμην αὐτοῦ.

Ἦχος β΄.

Σπεύσατε αἱ γύρω κῶμαι, προσφέρουσαι ἑκάστη τὸ ἴδιον τέκνον, βοᾶ ἡ πατρὶς τοῦ Ἀκακίου, καὶ χορὸν νεομαρτύρων συστήσωμεν, ἵνα περὶ τὸν μεγαλομάρτυρα Δημήτριον, εὐφρανθῶμεν ἀγαλλώμεναι. Σὺ δὲ Γεώργιε, Ἀσβεστοχωρίου

παλαίτατε προστάτα, προσάγαγε τοῦτον τὸν ἀνδρικώτατον σου μιμητήν, καὶ χαῖρε προπορευόμενος. Κώμην δὲ καὶ λαὸν ἡμῶν, ἀμφότεροι σκέπετε, ποδηγοῦντες Χριστῷ, τῷ σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄.

Δεῦρο Ἀκάκιε, διπλόστεπτε Ὁσιομάρτυς, γενοῦ ἔξαρχος παντέρπνου χοροῦ, ἐν ὥρᾳ Ἀνοίξεως. Λάβε ἐξ Ἐπανόμης τὸν Ἀργύριον, κάλεσον τὸν Ἀθανάσιον ἐκ Πύργου, προσφωνῶν τὴν καλλιπάρθενον Κυράνναν, μὴ ἐπιλάθου τῆς Ἀκυλίνης καὶ τῶν λοιπῶν, ἐπωνύμων καὶ ἀσήμων νεομαρτύρων, καὶ μία φωνή, Χριστῷ βοήσατε, εἰρηνεύσαι τὸν κόσμον, παρέχων φωτισμὸν θεογνωσίας καὶ σωτηρίαν ψυχῶν τοῖς μετὰ πόθου τελοῦσι, τὴν ἐτήσιον σου ἄθλησιν.

Ἦχος δ΄.

Τοὺς ἀριστέας Χριστοῦ τρισαρίθμους ὁπλίτας Εὐθύμιον, Ἰγνάτιον, καὶ Ἀκάκιον, συνελθόντες ἀδελφοὶ ἐν τῷ σεπτῷ αὐτῶν τεμένει, ἐγκωμίοις μαρτυρικοῖς καὶ ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν οὗτοι γὰρ τῶν τυραννούντων τὰ θράση μὴ δειλιάσαντες, μᾶλλον δὲ τὴν πίστιν Χριστοῦ τρανῶς κηρύξαντες, νομίμως ἐνήθλησαν, καὶ τὰ τῆς νίκης βραβεῖα παρ’ αὐτοῦ ἐκομίσαντο· καὶ νῦν ἐν οὐρανοῖς μετ’ Ἀγγέλων χορεύοντες τὴν ἀκατάλυτον χορείαν, αἰτοῦνται τῇ οἰκουμένῃ εἰρήνην, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἦχος πλ.α΄.
Ὢ μακαρίας μητρὸς παραίνεσις, ὑπὸ τοῦ Παρακλήτου ἐμπνευσθεῖσα, εἰς υἱὸν εὐήκοον. Σὺ μὲν γλυκύτατου υἱοῦ καὶ νεάζοντος ἐστερήθης, ἀλλ' ἡ μήτηρ Ἐκκλησία, πορφυροστόλιστον προβάλλεται τὸν μάρτυρα. Χαίρομεν οὖν καὶ ἡμεῖς, ἔσχατα τέκνα ὀδύνης, καὶ πρὸς τὸν μάρτυρα, ὡς πρεσβύτερον φίλον καὶ ἀδελφόν, οὕτω προσείπωμεν παμφίλτατε Ἀκάκιε, γενναιόφρον καὶ καρτερόψυχε, μοναζόντων ἱερεῖον τιμιώτατον, καὶ πατρίδος τέκνον εὐφρόσυνον, γενοῦ ποδηγέτης τῆς νεότητας, ὀσιόαθλε, καὶ ἡμῶν τῶν ὑμνούντων σου, πρέσβυς πρὸς Κύριον.

Δόξα. Ἦχος πλ. δ΄.
Δεῦτε φιλομάρτυρες πάντες, καὶ τῆς ἁγνείας ἐρασταί, δεῦτε οἱ ἀνθοὶ τῆς νεότητος καὶ τὸ σεβάσμιον γῆρας, δεῦτε ἱερεῖς καὶ λαϊκοί, μονασταὶ καὶ μιγάδες, παρθένοι καὶ μητέρες, οἱ ἐγγὺς καὶ οἱ μακράν, προσδράμωμεν πόθῳ, ἐν ἔαρος ὥρα, βαστάζοντες στεφάνους ἀνθοπλέκτους ἐξ ἀρετῶν, καὶ ἀνέλθωμεν εἰς κώμην μικράν, ἀλλ' ὅμως εὐτεκνουμένην καὶ εὔανδρον. Πάντες ὁμοῦ προστρέξωμεν, πάθη χαλινοῦντες καὶ πόθῳ πτερούμενοι, ἵνα μάρτυρος μνήμην ἐπιτελέσωμεν. Διπλοστεφὴς γὰρ ὑπάρχων, ἅπασαν εὐφραίνει τὴν ἐκκλησίαν. Ὅθεν γηθοσύνως, αὐτῷ βοήσωμεν Ἀκάκιε, γενναιόφρον καὶ ὀσιώτατε, Μάρτυς θεολεκτέ, σκέπε καὶ φύλαττε, ἐκ πάσης προσβολῆς ἐναντίας, τοὺς τιμῶντας τὴν σὴν πανήγυριν.

Καὶ νῦν.
Δέσποινα, πρόσδεξαι... Ἤ τῆς Ἑορτῆς.

Εἰς τὰ ἀποστιχα, λέγομεν πρῶτον ἀναστάσιμον καὶ εἶτα· Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.
Στ.: Ὑπομένων, ὑπέμεινα τὸν Κύριον...
Χαίροις τοῦ Γεωργίου υἱέ, καλὸν γεώργιον Χριστοῦ ἀρχιποίμενος, Ἀκάκιε χριστομάρτυς, ὅτι ἡμέρα ἐν ἡ, τὸν καλὸν ἀγῶνα ἐτελείωσεν, Γεωργιος ἀρίστᾳ, σὲ προθύμως ἐκάλεσεν, καὶ μαρτυρίου ἴσον δρόμον ἐβάδισας, τροπωσάμενος τῶν δαιμόνων τὰ φάλαγγας. Ὅθεν δυὰς θεολεκτέ, θεοστεπτοι μάρτυρες, μὴ ἐπιλάθητε ὅσων, ἡμᾶς τιμῶσι δοξάζοντες, Χριστὸν τὸν Σωτῆρα, ἵνα εὕρωμεν εἰρήνην καὶ μέγα ἔλεος.
Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ...
Ἄγρα ὄντως καλὴ συλληφθείς, ἰχθὺς ὡς ἄλλος χριστομάρτυς Ἀκάκιε, ἀγκίστρῳ τοῦ μαρτυρίου, πορφυρωθεὶς ἐν πληγαῖς, καὶ βασάνων πόνοις ἀνδρικώτατα. Διὸ καὶ διδάσκαλος, ἀρετῆς ἡμῖν γέγονας, καίτοι ἐν χρόνοις τῆς νεότητος ἠθλησας, καὶ κατῄσχυνας ἀλλοπίστων τὸ φρύαγμα. Ὅθεν καὶ σὲ κατέχοντες, ὡς πρέσβυν πρὸς Κύριον, παρακαλοῦμεν προφρόνως, νεομαρτύρων πανάριστε, νεότητα σκέπε, καὶ ἡμῖν τοῖς σὲ τιμῶσι δίδου παράκλησιν.
Τῶν Τριῶν Ὁσιομαρτύρων. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...
Χαίροις νεομαρτύρων τριάς, οἱ ἀθλοφόρων παλαιῶν μιμησάμενοι, τὴν στάσιν καὶ καρτερίαν καὶ τὸ

γενναῖον σαφῶς, καὶ στεφάνους ἴσους εἰσδεξάμενοι· Χριστοῦ θείῳ ἔρωτι πυρποληθέντες ἀοίδιμοι, ἑαυτοὺς εἰς θάνατον ἑκουσίως ἐδώκατε, καὶ ὡς ἅγιοι, παρ' ἡμῶν νῦν δοξάζεσθε, νόμιμον οἱ τελέσαντες, ἀθλήσεως στάδιον, νόμιμα στέφη καὶ θεία, παρὰ Χριστοῦ κοιμισάμενοι, αὐτὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος δ΄.

Ὁσιομάρτυς Ἀκάκιε, τὸ κοινωνικόν, τῆς εἰς Χριστὸν πίστεως φανερῶν, ὡς ὁ θεῖος Παῦλος, ὁδὸν μαρτυρίου πορευόμενος, πᾶσι τοῖς συμμονασταῖς καὶ φίλοις τὸ χαῖρε ἐπιστέλλεις. Αἱ ὁ καὶ νῦν, χαίρει σῆς πατρίδος ὁ σύλλογος, ὅτι ἐβλάστησεν ἡ κοινῶς ἐνεγκαμένη, σὲ τὸν στεῤῥώτατον ἀθλητήν, θεῖον Χριστοῦ καλλιέρημα. Χαῖρε οὖν καὶ σύ, αὐτῷ παριστάμενος φαιδρῶς, καὶ ἡμῖν πᾶσιν ἐπιστέλλων, ἀντίδωρον τῆς πανηγύρεως, χάριν πλουσιόδωρον.

Καὶ νῦν.

Ἀναστάσεως ἡμέρα... Ἤ ἐκ τῆς ἑορτῆς.

Καὶ τὰ Ἀπολυτίκια. Τοῦ ἁγίου, καὶ τῶν ἁγίων, ἐκ τοῦ μικροῦ Ἑσπερινοῦ.

## Εἰς τὸν Ὄρθρον

Εἰς τὴν α΄ στιχολογίαν. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Μητρικὴ παραινέσει καὶ προσευχή, πρὸς τὸν Ἄθω ἐκπλεύσας μετανοῶν, πόνοις τῆς ἀσκήσεως διατρέχων

Ἀκάκιε, Σίμωνα τὸν ὅσιον δράματι ἔβλεψας. Ὅθεν ὑπομείνας ἐν Προδρόμου τῇ Σκήτη, καὶ σχῆμα λαβόμενος, μοναστῶν ὡς ἐπόθησας, ἀρετῆς ἀκροθίνιον, προσέδραμες ὁδῷ μαρτυρική, Χριστομάρτυς, κεφαλὴν ἐκτεμνόμενος. Ὅθεν πέμπεις πλουσίαν τὴν χάριν τοῖς φίλοις σου.

Εἰς τὴν β΄ στιχολογίαν. Ἦχος γ΄. Τὴν ὡραιότητα.
Πῶς ἐκαρτέρησας, μάρτυς Ἀκάκιε, βασανιζόμενος, ἐν φυλακὴ ἀθλητά, εἶπε ἡμῖν ἀγαπητέ, τιμῶσί σου τὴν ἄθλησιν. Ἔλαβον ἐφόδιον, στομωθεὶς τοῦ δεσπότου μου, σῶμα καὶ ἐβάδισα σταθερῶς πρὸς ἀποτμῆσιν, τῆς κάρας ὅθεν χαίρων παρίσταμαι, αὐτῷ ὑπὲρ ἡμῶν προσευχόμενος.

Μετὰ δὲ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.
Ἀκακίου σήμερον, τὴν θείαν μνήμην, ἑορτάζει χαίρουσα, ἡ ἐκκλησία σου Χριστέ, καὶ γηθομένη ἐν ἀσμασιν, αὐτοῦ γεραίρει τὰ ἔνδοξα ἔπαθλα.

Προκείμενον. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ. Στίχ.: Τί, ἀνταποδώσωμεν τῷ Κυρίῳ...
Εὐαγγέλιον εἶπε ὀσιακον.
Δόξα. Ταῖς τοῦ ὀσιαθλου πρεσβείαις...
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...
Στίχ.: Ἐλέησον με, ὁ Θεός... Καὶ τὸ Ἰδιόμελον. Ἦχος πλ. β΄.

Ἀνοίξεως ἐποχή, καὶ ἡλικίας νεότητι, ἀπετμήθης τὴν κεφαλήν, Ὁσιομάρτυς Ἀκάκιε, ὡς ἄνθος εὐωδέστατον προσάγων αὐτήν, τῷ πρωτομάρτυρι τῆς τοῦ Πατρὸς ἀγάπης, Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ὅθεν καὶ νῦν, ἑορτὴν σοι ἁρμόδιον συγκροτοῦντες, αἰτούμεθα πανάριστε· ζωομύρισον ἡμᾶς, τῇ εὐωδία τοῦ Παρακλήτου Πνεύματος καὶ πρέσβευε ἐκτενῶς τῇ Τριάδι, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κανόνες. Πρωτεύει ὁ Κανῶν ἐκ τοῦ Πεντηκοσταρίου. Εἶτα, τῶν Ἁγίων. Καὶ τοῦ Ὁσιομάρτυρος Ἀκακίου. Ἦχος πλ. δ΄. Οὗ ἡ ἀκροστιχις: Ἀσβέστῳ πόθῳ Ἀκάκιον ὑμνήσω. Πορφύριος.

ᾨδὴ ἁ .Υγρὰν διοδεύσας.

Ἀκάκιον μέλλοντες, ἀδελφοί, νῦν πανηγυρίζειν, πρὸς πατρίδα τὴν ἐπὶ γῆς, προσδράμωμεν πόθῳ ἀνυμνῆσαι, τὰ πρὸς Χριστὸν αὐτοῦ θεία παθήματα.

Συχνάκις ὁδεύων τὴν ἁλμυράν, θάλασσαν τοῦ βίου, ἐν ὀλίγοις χρόνοις σοφέ, Ἀκάκιε μάρτυς θεοφόρε, εὗρες λιμένα ἐν Ἄθω λυτρώσεως.

Βεβαίωσιν εἴληφας ἐκ μητρός, σαρκικῆς παμμάκαρ, ὅτι μήτηρ πνευματική, ὑπάρχει ἡ Δέσποινα τοῦ Ἄθω, τοῖς προσιοῦσιν αὕτη μετὰ πίστεως.

Θεοτοκίον.

Σὺ θύμησον, μῆτερ τοῦ Ἰησοῦ, ὅτι Εὐθυμίου, νῦν ὑπάρχει ὁ μιμητῆς, Ἀκάκιος νέος ἀθλοφόρος, τοῦ Βαπτιστοῦ ἐν τῇ Σκήτῃ στομούμενος.

Καταβασία. Ἀναστάσεως ἡμέρα.

Ὠδὴ γ΄. Ὁ στερεώσας κατ’ ἀρχάς.
Σκυτοτομήσας ἀνδρικῶς, νεανικῆς ἡλικίας, φοβερὸν τε καὶ ἐξαίσιον πτῶμα, διὰ μύρου δὲ χρισθείς, ἀφόβως προεβάδισας, πρὸ βήματος τυράννου, λαβεῖν τῆς κάρας ἀποτμῆσιν.
Τυραννικῶς ἐκμαυλισθείς, Χριστὸν ἀδίκως ἠρνήθης, ἀλλὰ πάλιν εἰς τὸν Ἄθω ἐκπλεύσας, τυραννία τῆς σαρκός, καὶ μετανοίας δάκρυσιν, ὑπακοῆς βραβεῖα, ἔλαβες θεῖε Ἀκάκιε.
Ὠδὴν σοι πλέκομεν θερμῶς, ὥσπερ νῦν Ἔαρος ὥρα, σοὶ προσάγει ἀνθοπλέκτους στεφάνους, ἡμέρων ἡ ἀπαρχή, Μαίου χριστοπόθητε, Ἀκάκιε τρισμάκαρ, Ὁσιομάρτυς πανάριστε.
Θεοτοκίον
Πεποικιλμένη Μαριάμ, Ἀθωνιτῶν ἡ χορεία, Σὲ κατέχουσα ἐν θρόνῳ χορεύει, ἀσκητῶν ὁ μελισσών, μιγάδων τε τὰ τάγματα, νεομαρτύρων δῆμος, μεθ’ ὧν καὶ νέος Ἀκάκιος.
Καταβασία. Δεῦτε πόμα.

Κοντάκιον τῆς ἑορτὴς.
Εἶτα κάθισμα τοῦ Ὁσιομάρτυρος. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.
Ὡς ἥλιος ὑμῶν, ἡ σεβάσμιος μνήμη, ἀνέτειλεν ἡμῖν, νεομάρτυρες θεῖοι, Τριάδος ἰσάριθμοι, τοὺς πιστοὺς καταυγάζουσα ἥν περ σήμερον, ἐπιτελοῦντες βοῶμεν,

ἱκετεύσατε, ὑπὲρ ἡμῶν ἀθλοφόροι, τὸν μόνον φιλάνθρωπον.
Δόξα ἕτερον. Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ λόγον.
Τῶν βασάνων τὰ εἰδὴ τὰ χαλεπά, ὀσιὀαθλοι θεῖοι καρτερικῶς, ὑμεῖς ὑπεμείνατε, γενναιόφρον Εὐθύμιε, καὶ Ἰγνάτιε θεῖε, τρισμάκαρ Ἀκάκιε· παρομοίοις τρόποις, λαμπρῶς ἐδοξάσθητε, θεραπεύειν τὰς νόσους μετὰ τέλος τὴν χάριν, ἐξ ὕψους ἐδέξασθε, τοῖς ἐν πίστει προστρέχουσι τῇ σορῷ τῶν λειψάνων ὑμῶν πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην ὑμῶν.
Καὶ νῦν. Ἀναστάσιμον θεοτοκίον.
Ἒκ τῶν κόλπων κατῆλθε τῶν πατρικῶν, ὁ μηδέποτε τούτους ἀπολιπών, ἡνώθη παχύτητι, τῆς σαρκὸς ὁ ἀόρατος, καὶ Σταυροῦ τὸ πάθος, ἑκὼν κατεδέξατο, τοὺς νεκροὺς ἀνέστησε, νεκρώσας τὸν θάνατον. Ὅθεν τὴν πηγὴν Σε, τῶν τοσούτων θαυμάτων ὑμνοῦντες βοῶμεν Σοι, Θεοτόκε πανύμνητε· χαῖρε κλῖμαξ οὐράνιε, καὶ γέφυρα Παρθένε Ἁγνή, πρὸς ζωὴν μετάγουσα τὸ ἀνθρώπινον, χαῖρε ᾎδου ἡ γύμνωσις Δέσποινα.

ᾨδὴ δ'. Εἰσακήκοα Κύριε.
Ὀφειλέτης προσέρχομαι, κράζει σῆς πατρίδος Ἀκάκιε σύλλογος, καὶ συνίστημι γηθόμενος, ἑορτὴν τῆς μνήμης σου ἐπάξιον.
Θεραπεύεις πανόλβιε, τραύματα ψυχῶν, καὶ νόσους

τοῦ σώματος, καὶ ὡς μάρτυς Χριστοπρόσδεκτος, παύεις νοσημάτων τὴν ἐπίθεσιν.
Ὦ ἱστάμενος, ἅγιε, θρόνῳ τοῦ Παντάνακτος καθικέτευε, ὑπὲρ πάντων τῶν ὑμνούντων σε, καὶ πιστῶς κυκλούντων σου τὰ λείψανα.
Θεοτοκίον
Ἃ παλύνεις θεονυμφε, πόνους ἀτακτούσης τῆς νεότητος, τῶν μητέρων δὲ τὰ βάσανα φέρεις πρὸς τὸν θρόνον τοῦ Κυρίου Σου.
Καταβασία. Ἐπὶ τῆς θείας φυλακῆς.

ᾨδή ε΄. Φώτισον ἡμᾶς.
Κύκλωσαν εὐχαῖς, τὴν πατρίδα σου Ἀκάκιε, καὶ ἀπαλλάξαν κινδύνων χαλεπῶν, τοὺς προσελθόντας καὶ κυκλούντας τὴν εἰκόνα σου.
Ἄκουσον τανῦν, τὰς δεήσεις ἡμῶν ὅσιε, καὶ καθάρισον αἱμάτων σου κρουνοῖς, πάσης κηλῖδος, τὰς ψυχὰς τῶν δεομένων σου.
Κράζετε πυκνῶς, ἐκ καρδίας πολυπόθητοι, τῷ δεσπότῃ καὶ γλυκεῖ μου Ἰησοῦ, βοᾶ τοῖς φίλοις, ὁ Ἀκάκιος θερμοτατα.
Θεοτοκίον.
Ἴθυνον Ἁγνή, Μαριὰμ Θεοχαρίτωτε, νεολαίαν ἐκ παγίδων νοσηρῶν, εἰς σωτηρίων, ἐντολῶν τὴν πιστοποίησιν.
Καταβασία. Ὀρθρίσωμεν ὄρθρου βαθέος.

Ὠδὴ στ΄. Χιτῶνα μοι παράσχου φωτεινόν.
Ὁρμήσας πρὸς μαρτύριον θερμῶς, πόθῳ ἀπεκδέδυσαι, ἔνδυμα πτώσεως, τὸν Χριστὸν πάλιν φορῶν, χριστοπόθητε.
Νικήσας γυναικὸς τὴν ἡδονήν, τέως Ἀκάκιε, νίκην κατήνεγκες, σκολιὸν πρὸς πτερνιστὴν ἀνδρικώτατα.
Ὑπέφερες γενναίως ῥαβδισμούς, ξύλῳ καρτερώτατα, ὑπὲρ τοῦ πτώματος, ὅπερ σώματι ὡς στίγμα προσέλαβες.
Θεοτοκίον.
Μαρτύρων ὡς ὑπάρχουσε Σεμνή, μόνη καταφύγιον, σκέπε τοὺς μέλποντας, νεομάρτυρος τὴν μνήμην Πανάμωμέ.
Καταβασία. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.
Ἀκακίου σήμερον, τὴν θείαν μνήμην, ἐν ἀνοίξει Ἔαρος, ἀνθοφορία ἀρετῶν στεφηφοροῦντες κροτήσωμεν, αὐτοῦ τὰ ἆθλα ἐν ὕμνοις γεραίροντες.
Ὁ Οἶκος.
Μητρικὴν προτροπὴν δεχθεὶς καρτερόψυχε, νεαρὰ ἡλικία ἡδονῶν κατεφρόνησας, καὶ ἡμέραις ἐν αἷς Χριστὸν πάσχοντα ἔλιπες, ταῖς αὐταῖς εὐθαρσῶς ἐπανέκαμψας, Γεωργίου γεώργιον φανεὶς ἀνδρικώτατα. Μιμητὴς γὰρ ἐκείνου ἐκ πατρίδος δεικνύμενος, εἰς τέλος λαμβάνεις κεφαλῆς τὴν ἀποτμῆσιν. Διὸ ἑορτὴν συγκροτοῦμεν ἁρμόδιον, σοῦ τὰ ἔπαθλα ἐν ὕμνοις γεραίροντες.

Συναξάριον.
Τῇ Ἀ' τοῦ αὐτοῦ μηνός, μνήμη τῶν Ἁγίων ἐνδόξων Ὁσιομαρτύρων Εὐθυμίου καὶ Ἰγνατίου.
Στίχοι.
Εὐθύμιέ μοι, χαῖρε, χαῖρε, πολλάκις.
Σφαγεὶς γὰρ εὗρες τὴν ἄνω χαρὰν πρόφρων.
Τὸν Ἰγνάτιον ἄλλον ὡς ἄστρον βλέπω.
Ἐκ γῆς φαεινὸν, εἰς πόλον δι' ἀγχόνης.
Ἀρνὸς δίκην σφάττουσι, φεῦ! διὰ ξίφους.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου Ὁσιομάρτυρος Ἀκακίου τοῦ Ἀσβεστοχωρίτου τοῦ ἐν Κων/πόλει ἀθλήσαντος ἐν ἔτει 1816.
Στίχοι.
Ἀρνὸς δίκην σφάττουσι, φεῦ! διὰ ξίφους
Τὸν κλεινὸν Ἀκάκιον, ἄνδρες αἱμάτων.
Τῇ πρώτη ὁσιάθλους τρεῖς ἀγλαοὺς ἅμα μέλπω.
Κατὰ τὴν πρώτην τοῦ μηνὸς Μαΐου ἡ κατέχουσα τὰ σπάργανα τοῦ Ὁσιομάρτυρος κώμη τοῦ Ἀσβεστοχωρίου πανηγυρίζει τὴν μνήμην τοῦ γνησίου αὐτῆς τέκνου Ἀκακίου. Λησμονηθείσης γὰρ ἔκπαλαι τῆς μνήμης αὐτοῦ, διὰ τὰς τῶν καιρῶν περιστάσεις, καθὼς καὶ τὴν μετοίκησιν τῶν γονέων αὐτοῦ πολλαχώς, ἐπ' ἐσχάτων ὁ οἰκεῖος τῆς περιοχῆς ἐπίσκοπος, ὁ Μητροπολίτης Νεαπόλεως καὶ Σταυρουπόλεως κὺρ Διονύσιος, συνεστήσατο ἑορτὴν ἐπὶ τῇ προβολὴ τοῦ ὁσιάθλου, ἰδίᾳ πρὸς τὴν χειμαζομένην νεότητα, διὰ τὸ ὁμήλικον.
Ὅθεν ἅπασα ἡ περιοχὴ πανηγυρίζει τὴν μνήμην τοῦ Ἀκακίου. Φαίνεται δὲ ἐκ τοῦ βίου τοῦ μάρτυρος, ὅτι κατὰ τὰς ἡμέρας τῆς ἰδικὴς τοῦ γεννήσεως ἢ ὀλίγον πρὸ αὐτῆς, συνῳκίσθη ἡ κώμη, ὅθεν καὶ Νεοχωρίον. Ἢ εἰς ἀνάμνησιν τῆς ἐλεύσεως ἐκ Νεοχωρίου Καρδίτσης τῶν κατοίκων. Ἀλλ' ἀργότερον, τῶν κατοίκων ἐπιδοθέντων εἰς τὴν κατεργασίαν ἐγχωρίου πέτρας, ἔλαβεν ἐξ αὐτῆς

καὶ ἡ κώμη τὴν κλῆσιν. Ὅθεν καὶ Ἀσβεστοχώριον καλεῖται τὸ πρὶν Νεοχωρίον. Τὰ δὲ περὶ τῆς ἀθλήσεως τοῦ Ὁσιομάρτυρος βλέπε εἰς τόν κατὰ πλάτος βίον αὐτοῦ.

Ὠδὴ ζ΄. Ὁ ἐν ἀρχὴ τὴν γῆν θεμελιώσας.
Νυκτὶ γεννῶν, Χριστοῦ ἐπαγρυπνήσας, ἐν τῇ Μονὴ τοῦ θείου μυροβλύτου, ὁρᾷς σαφῶς, τὸν Σίμωνα τρισόλβιε, ἐν πρεσβύτου ἱερωτάτη μορφή.
Ηλιακάς ἀκτῖνας ἀναπέμπει, θήκη ἐν ἥ, ἡ κᾶρα αὐτοῦ ὑπάρχει. Προσκυνητὼς δὲ κράζω σοι, Κύριε: Θεέ, Ἀκακίου βοήθει μοι.
Σκήτη τιμῶ, τοῦ Βαπτιστοῦ σὴν μνήμην, δοξαστικὼς ὡς μιμητοῦ Προδρόμου· Εὐλογητὸς βοᾶ, εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς ὁ τῶν μαρτύρων ἡμῶν.
Θεοτοκίον.
Ὢ Μαριάμ, Παρθένε Θεοτόκε, τοὺς ὑμνητὰς τοῦ θείου Ἀκακίου, ἐπευλογεῖς, πλουσιοτρόπως μέλποντας, ὑμνητικὼς τὸν σὸν Ὑίον καὶ Θεόν.
Καταβασία. Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος.

Ὠδὴ η΄. Τὸν ἄναρχον βασιλέα τῆς δόξης.
Πεπλάνηται, ὁ πλανήσας σε πλάνος, πλανηθεὶς ἐξ ἰδίας αὐτοῦ πλάνης. Σὺ δὲ λυτρωθείς, Χριστῷ νῦν ἐπαγάλλει, ὑπὲρ ἡμῶν πρεσβεύων.
Ὁ πόθος σου, εἰς ἀπέκδυσιν ἄγει, δερματίνης ἁμαρτίας χιτῶνος· ἐν μύρῳ δὲ χρισθείς, καὶ πάλιν χριστοφόρος, Ἀκάκιε ἐδείχθης.
Ῥανίδες σου, ἐρυθραὶ καὶ ἱδρῶτες, ἀποπλύνουσι καὶ ἡμῶν τὰς σπιλάδας. Μάρτυρος γὰρ θρόμβος, πολλὰ

Χριστῷ ἰσχύει.
Θεοτοκίον.
Φυλάκισον, τὰς ἀλόγους ὀρέξεις, τῆς καρδίας μου, θεονυμφευτε Μῆτερ, ἔψαλλεν ἐμφρόνως, Ἀκάκιος πρὸ πάθους.
Καταβασία. Αὕτη ἡ κλητή.

Ὠδὴ θ’ . Μεγαλύνομεν σε.
Σήμερον σκιρτῶντες, λαμπρύνομεν τὴν μνήμην, τοῦ Θείου Ἀκακίου.
Ὕψωσον παμμάκαρ, χερσὶν ἰδίαν σου κάραν, Χριστῷ τῷ Θεῷ, καὶ οὕτως ἱλέωσον, αὐτὸν ὑπὲρ τῶν φίλων σου.
Ῥητορεύομεν σου, τὸν πανάριστον ἀγῶνα Χριστοῦ ἀθλητά, ὅτι κατηύφρανας, τὸ Πνεῦμα τὸ Ἅγιον.
Ἱκετεύομεν σε, ὡς πατρίδος εὐεργέτην Χριστοῦ ἀθλητά, ἵνα μεσιτεύῃς, ὑπὲρ τῶν ὑμνούντων σε.
Ὄλβον ἀποφέρει, ἡ σὴ Ἀκάκιε μνήμη, ἡμῖν τοῖς πιστοῖς, ἐν ᾗ μεγαλύνομεν τὴν πάντερπνον σου ἄθλησιν.
Θεοτοκίον.
Σέσωσται, Παρθένε, Σαῖς πρεσβείαις ἡ Σὴ ποίμνη, ἡ τιμῶσα Σε Μῆτερ ἐν ᾗ συγκαταρίθμησον, κάμε τὸν ὑμνούντα Σε.
Καταβασία. Φωτίζου, φωτίζου.

Ἐξαποστειλάριον. Τοῦ Ἁγίου.
Ἀκάκιε τρισόλβιε, χριστοπόθητε μάρτυς, προβάλλεις

τῷ Δεσπότῃ σου ἀνθοκόσμητον κάραν, ταῖς ἀρεταῖς καὶ αἱμάτων λύθρῳ κεκοσμημένην, πέμπεις δὲ τοῖς τιμῶσι σε, ἐν Ἀνοίξεως ὥρα, μύρα τερπνά, Παραδείσου ἐνδὸν ὥσπερ πολίτης ἡμῖν δὲ τοῖς ὑμνοῦσι σε, δίδου χάριν παμμάκαρ.

Καὶ τῶν Ἁγίων. Γυναῖκες ἀκουτίσθητε.

Ἀγάλλου τὸ πανάγιον, Ὅρος τοῦ Ἄθω σήμερον τοῦ Βαπτιστοῦ γὰρ ἡ Σκήτη κροτεῖ πανήγυριν θείαν, μάρτυρας νέους ἔχουσα τοὺς ἰδίους ὁσίους σου· δώῃ σοι οὖν ἡ πάναγνος, καρποὺς τοιούτους προσφέρειν τῇ παναγία Τριάδι.

Εἰς τοὺς Αἰνούς, ἱστῶμεν στίχους δ'. Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.

Νέον χωρίον Ἀκάκιε, νεομαρτύρων οἰκεῖς, ἐν Ἐδὲμ παμμακάριστε, ἔνθα συγχορεύουσι, τῶν ὁσίων συστήματα, ἔνθα ἀγγέλων χαίρουσι τάγματα, ἔνθα μαρτύρων δῆμοι εὐφραίνονται. Ἔνθεν ἐξαπόστειλον, χάριν τοῖς τιμῶσι σε, μάρτυς Χριστοῦ, ἵνα μεγαλύνωμεν τὰ θεία ἆθλα σου.

Ἄσβεστον ἔλαβες ὅσιε, φλόγα ὑπὲρ τοῦ Χριστοῦ, καὶ παθεῖν προετίμησας, μαρτυρίῳ πίστεως, ὥσπερ πρὶν ὁ Εὐθύμιος. Ὅθεν λαμβάνων, πάτερ συγχώρησιν, τὴν Κωνσταντίνου χαίρων κατέλαβες, ἔνθα τὴν ἀπότμησιν κάρας λαβών, διπλοῦν στέφος εἴληφας, μάρτυς καὶ ὅσιος.

Σίμωνα βλέπων ὁράματι, τῆς ἐπωνύμου Μονῆς, τὸν σεπτὸν δομήτορα, ἐπάνηλθες μακάριε, ὅθεν πρωτίστως, φθόνῳ διέφυγες, καὶ κλῆσιν νέαν, σχήματι ἔλαβες. Ὅθεν Ἀκάκιος, ὠνομάσθης πάγκαλε, ὁμοιωθεὶς τούτου τοῖς χαρίσμασιν, ἀθανασίας υἱέ.

Χαίρομεν νῦν καὶ κραυγάζομεν, δόξαν Χριστῷ τῷ Θεῷ, ὅτι κώμη ἄσημος, διὰ σὲ νῦν διάσημος. Ὅθεν ἐλθόντες, νῦν εἰς πανήγυριν, ἆθλα καὶ βίον, πόθῳ γεραίρομεν, καὶ κατασπαζόμεθα, ὅσιε Ἀκάκιε τὰ σὰ θερμῶς, λείψανα λαμβάνοντες τὸ θεῖον ἔλεος.

Δόξα. Ἦχος πλ. α’ .

Πάλιν ἑορτὴ καὶ πανήγυρις καὶ πάλιν ἀναστάσεως χαρά, οὐ μόνον ἐπὶ ἁμαρτωλοῦ μετάνοια, ἀλλ’ ἐπὶ μαρτυρικὴ ἀθλήσει καὶ πίστεως καλλίστη ὁμολογία. Συγκαλεῖται γὰρ ἅπασαν, τὴν τοῦ Χριστοῦ ἐκκλησίαν, Ἀκάκιος, ὁ νεοθαλλὴς καὶ καρτερόψυχος, τοῦ Ἄθω ἔρνος ἐαρινόν, Ἀσβεστοχωρίου δὲ κώμης Θεσσαλονίκης, βλαστὸς καὶ κραταίωμα. Ἴσον γὰρ χρόνον ἐν πίστει Χριστοῦ καὶ ἀρνήσει βιώσας ἐπὶ γῆς, κηλῖδας ἁμαρτίας ἐξέπλυνε, μετανοίας δάκρυσιν καὶ αἱμάτων κρουνοῖς. Ὅθεν καὶ παῤῥησίαν κεκτημένος πρὸς Χριστόν, ὑπὲρ ἡμῶν ἱκετεύει, τῶν τελούντων τὴν σεπτὴν αὐτοῦ πανήγυριν.

Καὶ νῦν.Ἀναστάσεως ἡμέρα... Ἤ κατὰ βούλησιν Doξολογία μεγάλη καὶ Ἀπόλυσις.

